προχωρεῖν. οἶδα μὲν γὰρ καὶ αὐτὸς ὅσια δρά- ?
σων φιλῶν τὴν πατρίδα, καὶ ταύτην ἀνέχων ὡς
δύναμιν, καὶ μάλισθ᾽ ὅταν δέηται τῶν βοηθησόν-
των. ἕτερα δ᾽ ἐστὶν ὑφ᾽ ὧν ἐγὼ κωλύομαι, ταύτην
αὐτῇ τὴν λειτουργίαν εἰσφέρειν, ἃ καὶ διεξελθεῖν
χαλεπὸν, καὶ παραγενέσθαι ἀδύνατον. τούτων τοίνυν
κρατούντων πολλή μοι πανταχόθεν συγγνώμη, εἰ
μὴ δυναίμην τῇ πατρίδι τὴν ὀφειλομένην χάριν
ἐκτίνειν. ἓν μόνον εἰπὼν οἶμαι δόξειν καὶ σοί.
μὴ πεῖθε κακὰ φέρειν, ὧν αὐτὸς ἀπεπήδησας.
οὔτε γὰρ κουφοτέρων νῦν τούτων, ἢ σὺ τότε, πει-
ρῶμαι, οὔτ᾽ ἐγὼ δικαιότερος ἐκείνων ἀνέχεσθαι.
οὐ μὴν οὐδὲ καρτερικώτερος ὃ πάντας τοὺς
νῦν ἀνδρείᾳ νικῶν. εἰ τοίνυν ἀδάμας εἶχε, τί
δεῖ μέμφεσθαι τῷ κηρῷ.

## Ἐπιστολὴ ε.

### Τῷ Αὐτῷ.

Ὁ μὲν λοῖτος σοὶ ἔφησε πνεύματος ἀπαρτῶν ὧν cod
ἄκων ἐπὶ τοὺς ἡμετέρους κατῆρε λιμένας. ἡ-
μεῖς δὲ τύχῃ ἀγαθῇ τὴν ἀποτυχίαν ἐλογισά-
μεθα ταύτην. ἀπήγγειλε γὰρ ἡμῖν, ἃ πάλαι μὲν
οἱ τὴν σὴν φύσιν οὐκ ἀγνοοῦντες ἡμεῖς ἐπεπείσ-
μεθα. τὸ δὲ μὴ δύνασθαι σαφεῖ τινι τοὺς εὐφημεῖν
μὴ βουλομένους ἐλέγχειν, πλάσμασιν ἡμᾶς πολὺ
χαίρειν ᾤοντο. νῦν δὲ διὰ τοῦτον καὶ τοῖς πο-
νηροτάτοις ἐνεφράγη τὰ στόματα. καὶ οἱ τοῦ βασι-
λέως ἔπαινοι προχωροῦσιν οὐδενὸς τολμῶντος ἐμφράττω
αὐτοῖς ἐνοχλεῖν. ὥστε ἡ πόλις ἡμῖν πλήρης τῶν
περὶ σοῦ διηγήσεων, τῶν μὲν τὴν παντὸς λαθοῦ-
σαν ἔξοδον ἐπαινούντων. οἱ μὲν γὰρ φασὶ καὶ τέχνης

http://digital.slub-dresden.de/ppn345546776/11